# Adnotationes in Jesum filium Nave

## ΩΡΙΓΕΝΟΥΣ ΕΚΛΟΓΑΙ ΕΙΣ ΙΗΣΟΥΝ ΤΟΝ ΝΑΥΗ.

17.36 ΚΕΦ. Γ΄. Στίχ. ιδ΄. Καὶ ἀπῆρε πᾶς ὁ λαὸς ἐκ τῶν σκηνω μάτων αὐτῶν. Τουτέστιν, ὡς ἅλω πλήρωσις. Οὐ γὰρ μόνον ἐπήγνυτο, ὡς ἐν τῇ Ἐρυθρᾷ, ἀλλ' ὡς θημὼν πυροῦ ἐσωρεύετο. Εἰς τύπον τῶν ἀποστόλων δηλονότι. ΚΕΦ. ΄. Στίχ. ιε΄, ι΄. Κεκράξατε· παρέδωκε γὰρ Κύριος ὑμῖν τὴν πόλιν. Διατί τὴν Ἱεριχὼ ἀναθεματισθῆναι προσέταξε; Πρώτην ταύτην εἷλον πόλιν μετὰ τὸ διαβῆναι τὸν ποταμόν. Ὥσπερ τοίνυν προσέταξεν αὐτοὺς τῶν 17.37 καρπῶν προσφέρειν τὰς ἀπαρχὰς, οὕτως ἐκέλευσε τὰ τῶν σκύλων προσενεγκεῖν ἀκροθίνια. Πρὸς δὲ τούτοις καὶ γυμνάζει αὐτοὺς διὰ τούτων τῶν νόμων, ὥστε τοὺς ἀναγκαίους νόμους τηρεῖν. Τὴν οἰκείαν δὲ αὐ-τοῖς ἐπιδεικνὺς δύναμιν, τὴν πρώτην πόλιν δίχα ὅπλων καὶ μηχανημάτων ἑλεῖν παρεσκεύασε, καὶ μόνῃ κατέλυσε τῇ τῶν σαλπίγγων ἠχῇ· ἵν' ὅταν ἡττηθῶσι παρατατττόμενοι, γνῶσιν, ὡς αὐτοὶ παρέσχον τῆς ἥττης τὰς ἀφορμὰς, τῶν θείων νόμων καταφρονήσαντες. ΚΕΦ. Η΄. Στίχ. β΄. Καὶ τὴν προνομὴν τῶν κτηνῶν προ νομεύσεις σεαυτῷ. Ἐπειδὴ οὐκ ἔδει ὡς ἐν τῇ Ἱεριχὼ τὰ πάντα ἀνατεθῆναι. Στίχ. κ΄. Καὶ ἐξέτεινεν ὁ Ἰησοῦς τὸν γαισὸν, καὶ τὴν χεῖρα αὐτοῦ. Ἔμενε γὰρ Ἰησοῦς ἐκτεταμένην ἔχων τὴν χεῖρα· ἵνα, θεασάμενοι οἱ τῆς ἐνέδρας, προκαταλάβωνται τὴν πόλιν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.